πρὸς ἐκεῖνα ἃ τελευτήσαντα ἑκάτερον περιμένει· χρὴ δ' αὐτὰ ἀκοῦσαι, ἵνα τελέως ἑκάτερος αὐτῶν ἀπειλήφῃ τὰ ὑπὸ τοῦ λόγου ὀφειλόμενα ἀκοῦσαι.

b Λέγοις ἄν, ἔφη, ὡς οὐ πολλὰ ἄλλ' ἥδιον ἀκούοντι.

'Αλλ' οὐ μέντοι σοι, ἦν δ' ἐγώ, 'Αλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ' ἀλκίμου μὲν ἀνδρός, Ἠρὸς τοῦ 'Αρμενίου, τὸ γένος Παμφύλου· ὅς ποτε ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων δεκαταίων τῶν νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνῃρέθη, κομισθεὶς δ' οἴκαδε μέλλων θάπτεσθαι δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω, ἀναβιοὺς δ' ἔλεγεν ἃ ἐκεῖ ἴδοι. ἔφη δέ, ἐπειδὴ οὗ ἐκβῆναι, τὴν ψυχὴν πορεύεσθαι
c μετὰ πολλῶν, καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε γῆς δύ' εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα καταντικρύ. δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι, οὕς, ἐπειδὴ διαδικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν, τοὺς δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα πάντων ὧν
d ἔπραξαν. ἑαυτοῦ δὲ προσελθόντος εἰπεῖν ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ καὶ διακελεύοιντό οἱ ἀκούειν τε καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ. ὁρᾶν δὴ ταύτῃ μὲν καθ' ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχάς, ἐπειδὴ αὐταῖς δικασθείη, κατὰ δὲ τὼ ἑτέρω ἐκ μὲν τοῦ ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε

a 7 ἑκάτερος Stobaeus Eusebius : ἑκάτερον A F M    ἀπειλήφῃ A M Eusebius : ἀπειλήφει F : ἀπειληφὼς *D*    a 8 ἀκοῦσαι secl. ci. Stephanus    b 1 ὡς A² F M : om. A    b 3 ἠρὸς A M Stobaeus : ἦρος F : ἥρωος *D*    ἀρμενίου] Plutarchi lectionem ἁρμονίου novit Proclus et ε ex ο ut videtur Procli cod.    b 8 οὗ A F : οὖν A² M Proclus Stobaeus : οἱ Eusebius Theodoretus    c 3 ἄλλα F M : ἀλλὰ A *D* Proclus Stobaeus    c 4 post καθῆσθαι add. τῶν χασμάτων Proclus    διαδικάσειαν] δικάσειαν Stobaeus    d 2 διακελεύοιντο] διακελεύεσθαι Eusebius    οἱ ἀκούειν] διακούειν Eusebius    d 3 θεᾶσθαι F *D* M Proclus : θε*ᾶ*σθαι A    d 6 τὼ ἑτέρω A M : τὸ ἕτερον F *D*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417067852/414 UNIVERSITÄT LEIPZIG